ἐν πόλει ἐν τῇ βάρει τῆς Μήδων πόλεως κεφαλὶς μία, καὶ τοῦτο
3 ἦν γεγραμμένον ἐν αὐτῇ Ὑπόμνημα· [3]ἐν ἔτει πρώτῳ Κύρου βασι-
λέως Κῦρος ὁ βασιλεὺς ἔθηκεν γνώμην περὶ οἴκου τοῦ θεοῦ τοῦ
ἐν Ιερουσαλημ· οἶκος οἰκοδομηθήτω καὶ τόπος, οὗ θυσιάζουσιν
τὰ θυσιάσματα· καὶ ἔθηκεν ἔπαρμα ὕψος πήχεις ἑξήκοντα, πλάτος
4 αὐτοῦ πήχεων ἑξήκοντα· [4]καὶ δόμοι λίθινοι κραταιοὶ τρεῖς, καὶ
δόμος ξύλινος εἷς· καὶ ἡ δαπάνη ἐξ οἴκου τοῦ βασιλέως δοθήσε-
5 ται· [5]καὶ τὰ σκεύη οἴκου τοῦ θεοῦ τὰ ἀργυρᾶ καὶ τὰ χρυσᾶ, ἃ
Ναβουχοδονοσορ ἐξήνεγκεν ἀπὸ οἴκου τοῦ ἐν Ιερουσαλημ καὶ ἐκό-
μισεν εἰς Βαβυλῶνα, καὶ δοθήτω καὶ ἀπελθάτω εἰς τὸν ναὸν τὸν
6 ἐν Ιερουσαλημ ἐπὶ τόπου, οὗ ἐτέθη ἐν οἴκῳ τοῦ θεοῦ. [6]νῦν δώ-
σετε, ἔπαρχοι πέραν τοῦ ποταμοῦ Σαθαρβουζανα καὶ οἱ σύνδουλοι
αὐτῶν Αφαρσαχαῖοι οἱ ἐν πέρα τοῦ ποταμοῦ, μακρὰν ὄντες ἐκεῖ-
7 θεν [7]ἄφετε τὸ ἔργον οἴκου τοῦ θεοῦ· οἱ ἀφηγούμενοι τῶν Ιου-
δαίων καὶ οἱ πρεσβύτεροι τῶν Ιουδαίων οἶκον τοῦ θεοῦ ἐκεῖνον
8 οἰκοδομείτωσαν ἐπὶ τοῦ τόπου αὐτοῦ. [8]καὶ ἀπ᾽ ἐμοῦ ἐτέθη γνώμη
μήποτέ τι ποιήσητε μετὰ τῶν πρεσβυτέρων τῶν Ιουδαίων τοῦ
οἰκοδομῆσαι οἶκον τοῦ θεοῦ ἐκεῖνον· καὶ ἀπὸ ὑπαρχόντων βασι-
λέως τῶν φόρων πέραν τοῦ ποταμοῦ ἐπιμελῶς δαπάνη ἔστω δι-
9 δομένη τοῖς ἀνδράσιν ἐκείνοις τὸ μὴ καταργηθῆναι· [9]καὶ ὃ ἂν
ὑστέρημα, καὶ υἱοὺς βοῶν καὶ κριῶν καὶ ἀμνοὺς εἰς ὁλοκαυτώσεις
τῷ θεῷ τοῦ οὐρανοῦ, πυρούς, ἅλας, οἶνον, ἔλαιον, κατὰ τὸ ῥῆμα
τῶν ἱερέων τῶν ἐν Ιερουσαλημ ἔστω διδόμενον αὐτοῖς ἡμέραν
10 ἐν ἡμέρᾳ, ὃ ἐὰν αἰτήσωσιν, [10]ἵνα ὦσιν προσφέροντες εὐωδίας τῷ
θεῷ τοῦ οὐρανοῦ καὶ προσεύχωνται εἰς ζωὴν τοῦ βασιλέως καὶ
11 τῶν υἱῶν αὐτοῦ. [11]καὶ ἀπ᾽ ἐμοῦ ἐτέθη γνώμη ὅτι πᾶς ἄνθρωπος,
ὃς ἀλλάξει τὸ ῥῆμα τοῦτο, καθαιρεθήσεται ξύλον ἐκ τῆς οἰκίας αὐ-
τοῦ καὶ ὠρθωμένος παγήσεται ἐπ᾽ αὐτοῦ, καὶ ὁ οἶκος αὐτοῦ τὸ
12 κατ᾽ ἐμὲ ποιηθήσεται. [12]καὶ ὁ θεός, οὗ κατασκηνοῖ τὸ ὄνομα ἐκεῖ,
καταστρέψει πάντα βασιλέα καὶ λαόν, ὃς ἐκτενεῖ τὴν χεῖρα αὐτοῦ
ἀλλάξαι ἢ ἀφανίσαι τὸν οἶκον τοῦ θεοῦ ἐκεῖνον τὸν ἐν Ιερουσα-
λημ. ἐγὼ Δαρεῖος ἔθηκα γνώμην· ἐπιμελῶς ἔσται.

**2** εν πολει] pr. εν αμαθα A†, εν αμαθα πολει pau.; εν εκβατανοις τη π. *L*†: cf. I 6 22 | της μηδων πολεως(*L*† χωρας) > BAV† | ην > B || 3 ο > B† | του $1^0$] ιερου B† | οικος οικοδομηθητω om. et και τοπου(pro -πος) ad praec. trahit B† | εξηκοντα $1^0$ ⌒ $2^0$ B† || 4 κραταιοι > BV† || 5 του $1^0$ > B: cf. 12. 22 | ιερουσαλημ $1^0$ ⌒ $2^0$ B† | ου ετεθη Sixt.] > compl., ου > BAV† (A† τεθη pro ετεθη), και τεθητω *L*† || 6 δωσετε] τανθαναιε *L*†: cf. 13 | σαθαρβουζανα hic et in 13 BV† (B† om. α ult. in 13)] -ναι uel -νε A; cf. 5 3 | οι ult. et του ult. > B† | περα B† (cf. 7 21)] τω περαν rel. || 7 init. B*L*†] pr. και νυν A | οικου > A† | οι αφηγ. των ιουδ. et οι $2^0$ > B† || 8 ετεθη γνωμη B† (cf. 5 17)] ετ. δογμα *L*†, tr. rel. | των $1^0$ > B† || 9 ἐλαιον > A† | των $1^0$ > B || 10 των > B || 11 καθαιρεθ.] pr. και B† | παγησεται] πληγ. B† || 12 τον οικον του θ. εκεινον] οικ. θ. B†: cf. 5

SLUB Wir führen Wissen. http://digital.slub-dresden.de/id416246419/964 UNIVERSITÄT LEIPZIG